# 13-12-2019 Ὄρθρος Παρασκευῆς Ἦχος πλ. δ'

† Μνήμη τῶν Ἁγίων Μαρτύρων Εὐστρατίου, Αὐξεντίου, Εὐγενίου, Μαρδαρίου, καὶ Ὀρέστου † Μνήμη τῆς Ἁγίας Μάρτυρος Λουκίας τῆς Παρθένου.

Ἦχος Δι

Θε ος Κυ ρι ος και ε πε φα νεν η μιν

ευ λο γη με νος ο ερ χο με νος εν ο νο

μα τι Κυ ρι ου

Στίχος 1. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. (Τὸ ὡς ἄνω)

Στίχος 2. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θε ος Κυ ρι ος και ε πε φα νεν η μιν

ευ λο γη με νος ο ερ χο με νος εν ο νο μα

τι Κυ ρι ου

Στίχος 3. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. (Τὸ ὡς ἄνω)

## Ἀπολυτίκιον

### Ἦχος δ΄. Ταχὺ προκατάλαβε

Οἱ Μάρτυρές σου, Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν, στεφάνους ἐκομίσαντο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· σχόντες γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλον, ἔθραυσαν καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση. Αὐτῶν ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

Δόξα... (Τὸ ὡς ἄνω)

Καὶ νῦν... Σταυροθεοτοκίον

Τῇ Τετάρτῃ πρωΐ.

Εἰς τό, Θεὸς Κύριος, Ἦχος δ΄.

Παρθένε πανάμωμε, Μήτηρ Χριτοῦ Θεοῦ, ῥομφαία διῆλθέ σου, τὴν παναγίαν ψυχήν, ἡνίκα σταυρούμενον, ἔβλεψας ἑκουσίως, τὸν Υἱὸν καὶ Θεόν σου, ὅν περ εὐλογημένη, δυσωποῦσα μὴ παύσῃ, συγχώρησιν πταισμάτων, ἡμῖν δωρήσασθαι.




να γι αν ψυ χην η νι κα σταυ ρου με νον
ε βλε ψας ε κου σι ως τον Υι ον και Θε ον σου
Ον περ ευ λο γη με νη δυ σω που σα μη παυ
ση συγ χω ρη σιν πται σμα των η μιν δω
ρη σασθαι αι αι

Τῇ Παρασκευῇ πρωΐ.

Μετὰ τὴν α΄ Στιχολογίαν. Καθίσματα Σταυρώσιμα.

Ἦχος πλ. δ΄ Νη Γα

Βλέπων ὁ Ληστής, τὸν ἀρχηγὸν τῆς ζωῆς, ἐπὶ Σταυροῦ κρεμάμενον, ἔλεγεν· Εἰ μὴ Θεὸς ὑπῆρχε σαρκωθείς, ὁ σὺν ἡμῖν σταυρωθείς, οὐκ ἂν ὁ ἥλιος, τὰς ἀκτῖνας ἐναπέκρυψεν, οὐδὲ ἡ γῆ σειομένη ἐκυμαίνετο, ἀλλ΄ ὁ πάντων ἀνεχόμενος· Μνήσθητί μου Κύριε, ἐν τῇ Βασιλείᾳ σου.

Ἦχος πλ. δ΄ Νη Γα



ο παν των α νε χο με νος μνη σθη τι μου

Κυ ρι ε εν τη Βα σι ι λει α α σου

Στιχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιός ἐστι.

Ἐν μέσῳ δύο Λῃστῶν, ζυγὸς δικαιοσύνης εὑρέθη ὁ Σταυρός σου, τῷ τοῦ μὲν καταγομένου εἰς ᾅδην, βάρει τῆς βλασφημίας, τοῦ δὲ κουφιζομένου πταισμάτων, πρός γνῶσιν θεολογίας, Χριστὲ ὁ Θεός, δόξα σοι.

Ἐν με σω δυ ο λη στων ζυ γος δι και

ο συ νης ευ ρε θη ο Στα αυ ρο ο ος σου του

μεν κα τα γο με νου εις Α α δην τω βα ρει

της βλα σφη μι ι ας του δε κου φι ζι με

νου πται σμα των προς γνω σιν θε ο λο γι ας



Χριστε ο Θε ος δο ο ξα α σοι

Δόξα... Καὶ νῦν... *Σταυροθεοτοκίον*

*Τὸ προσταχθὲν μυστικῶς*

*Ἦχος πλ. δ΄*

Τὸν ἐξ αἱμάτων σου ἁγνῶν, σωματωθέντα, καὶ ὑπὲρ ἔννοιαν ἐκ σοῦ, σεμνὴ τεχθέντα, ἐπὶ ξύλου κρεμάμενον, μέσον τῶν κακούργων, ὁρῶσα, τὰ σπλάγχνα ἤλγεις, καὶ μητρικῶς θρηνοῦσα, ἐβόας· Οἴμοι! Τέκνον ἐμόν, τίς ἡ θεία καὶ ἄφατος, οἰκονομία σου δι΄ ἧς, ἐζώωσας τὸ πλάσμα σου! Ἀνυμνῶ σου τὸ εὔσπλαγχνον.

*Μετὰ τὴν β΄ Στιχολογίαν.*

*Καθίσματα Σταυρώσιμα.*

*Ἦχος πλ. δ΄.*

Ἐν μέσῳ τῆς Ἐδέμ, ξύλον θάνατον ἤνθησεν, ἐν μέσῳ δὲ τῆς γῆς, ξύλον ζωὴν ἐβλάστησε· γευσάμενοι γὰρ τοῦ πρώτου, ἄφθαρτοι ὄντες, φθαρτοὶ γεγόναμεν, σχόντες δὲ τοῦ δευτέρου, τῆς ἀφθαρσίας κατετρυφήσαμεν· ἐν τῷ Σταυρῷ γὰρ ἔσωσε Χριστός, τὸ γένος τῶν ἀνθρώπων.



Εν με σω της Ε δεμ ξυ λον θα να α το

ον ην θη σεν εν με σω δε της γης ξυ λον ζω

ης ε ε βλα στη σε γευ σα με νοι γαρ του

πρω του α φθαρ τοι ον τες φθαρ τοι γε ε γο να

μεν σχον τες δε του δευ τε ε ρου της α φθαρ

σι ας κα τε τρυυ φη σα μεν δι α σταυ

ρου γαρ ε σω σε Χρι στος το γε νος των α αν

θρω ω πων

Στιχ. Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰώνων, εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.

Τὸ *προσταχθὲν μυστικῶς*

Ἐν Παραδείσῳ μὲν τὸ πρίν, ξύλον ἐγύμνωσεν, ἐπὶ τῇ γεύσει ὁ ἐχθρός, εἰσφέρων νέκρωσιν, τοῦ Σταυροῦ δὲ τὸ ξύλον, τῆς ζωῆς τὸ ἔνδυμα, ἀνθρώποις, φέρον ἐπάγη, ἐπὶ τῆς γῆς, καὶ κόσμος, ὅλος ἐπλήσθη, πάσης χαρᾶς, ὃν

ὁρῶντες ὑψούμενον, Θεῷ ἐν πίστει λαοί, συμφώνως ἐκβοήσωμεν· Πλήρης δόξης ὁ οἶκός σου.

Δόξα... Καὶ νῦν...Σταυροθεοτοκίον,

Τὸ προσταχθὲν μυστικῶς

Ἦχος πλ. δ΄

Ἐκ τῶν αἱμάτων τῶν ἐμῶν, βροτὸς γεγέννησαι, ἐκ τῶν αἱμάτων δὲ τῶν σῶν, βροτοὺς ἐθέωσας, τοὺς βρώσει δὲ φθαρέντας, ζητῶν κατῆλθες, ὡς ὑπεράγαθος, ἐβόα πάλαι ἡ ἄμεμπτος, ἐν κλαυθμῷ, Χριστὸν θρηνοῦσα κρεμάμενον, ἐν Σταυρῷ, ὃν ὁρῶσα νεκρούμενον, δακρύων ἔρρει κρουνούς, τὰς ὄψεις καταξαίνουσα, καὶ αὐτὸν μεγαλύνουσα.

Μετὰ τὴν γ΄ Στιχολογίαν ἕτερα

Ἀνέστης ἐκ νεκρῶν

Ἦχος πλ. δ΄

Θεώσεως ψευσθείς, ὁ Γενάρχης ἐλπίδος, φθορᾶς τοῖς ἐξ αὐτοῦ, πᾶσιν αἴτιος ὤφθη. Σὺ δέ διὰ Σταυροῦ σου, ζωὴν πηγάζεις ὡς Ὑπεράγαθος· θέλων καὶ γὰρ ἐπάγης, ἵνα τὸ πρῶτον λύσῃς κατάκριμα· διὸ ὑμνοῦμέν σου Χριστέ, τὸ πάθος τὸ ἑκούσιον.

Μαρτυρικὸν

Στιχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Φωτὶ οὐρανίῳ καταλάμπεται, σήμερον αὕτη ἡ σκηνή· ἐν αὐτῇ γὰρ στρατιαὶ Ἀγγέλων ἀγάλλονται, σὺν αὐταῖς καὶ Μαρτύρων χοροὶ εὐφραίνονται, ἐπὶ τῇ μνήμῃ τῶν Ἀθλοφόρων. Αὐτῶν ταῖς παρακλήσεσι, κατάπεμψον τῷ κόσμῳ σου, τὴν εἰρήνην Χριστέ, καὶ τὸ μέγα ἔλεος.

Μαρτυρικόν,






Δόξα... Καὶ νῦν... Σταυροθεοτοκίον

Ἀνέστης ἐκ νεκρῶν

Ὢ θαύματος καινοῦ! ὢ φρικτοῦ Μυστηρίου! ἐβόα ἡ Ἀμνάς, τὸν Υἱὸν καθορῶσα, ξύλῳ Σταυροῦ παγέντα. Τί τοῦτο Λόγε Θεοῦ ἀθάνατε; πῶς νεκρὸς ὁρᾶσαι, καὶ γῆν σαλεύεις ὡς παντοδύναμος; ἀλλὰ ὑμνῶ σου τὴν φρικτήν, καὶ θείαν συγκατάβασιν.

Εἶτα ἀναγινώσκεται ὁ Ν΄ ψαλμός

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Κανὼν Σταυρώσιμος,
ᾨδὴ α΄
Ἦχος πλ. δ΄.
Ὁ Εἱρμὸς

Σταυρὸν χαράξας Μωσῆς, ἐπ΄ εὐθείας ῥάβδῳ, τὴν Ἐρυθρὰν διέτεμε, τῷ Ἰσραὴλ πεζεύσαντι, τὴν δὲ ἐπιστρεπτικῶς, Φαραὼ τοῖς ἅρμασι, κροτήσας ἥνωσεν, ἐπ᾽ εὔρους διαγράψας, τὸ ἀήττητον ὅπλον· διὸ Χριστῷ ᾄσωμεν, τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Παλάμας θείας Σταυρῷ, Ἰησοῦ ἁπλώσας, πρὸς σεαυτὸν συνήγαγες, χειρῶν σου τὸ πλαστούργημα, καὶ ἐκ χειρὸς πονηροῦ, πάντας ἠλευθέρωσας, καὶ καθυπέταξας, χειρὶ κραταιοτάτῃ, Βασιλεῦ τῶν ἁπάντων· διὸ πιστοὶ ᾄσωμεν, τῷ μεγέθει σου ὅτι δεδόξασται.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Λυμαντικὴ ἐν Ἐδέμ, γέγονε τοῦ ξύλου, ἡ ἀπευκτὴ ἀπόγευσις, τὸν θάνατον εἰσάξασα, Χριστὸς δὲ θανατωθείς, ἐπὶ ξύλου ἅπασι, ζωὴν ἐπήγασε, καὶ ἔκτεινε τὸν ὄφιν, θεϊκῇ δυναστείᾳ· διὸ αὐτῷ ᾄσωμεν τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

Σταυροθεοτοκίον

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὡς ἔβλεψέ σε Σταυρῷ, τὸν τὰ πάντα βλέποντα, ἡλούμενον ἡ ἄμεμπτος, ὀδυρομένη ἔλεγε· Τί τοῦτο τέκνον ἐμόν, τί σοι ἀνταπέδωκαν οἱ ἀπολαύσαντες, πολλῶν σου δωρημάτων, πῶς ὑποίσω τὸν πόνον; Δόξα τῇ σῇ εὔσπλαγχνε, καὶ μακρόθυμε, οἰκονομίᾳ φρικτῇ.

Κανὼν τῆς Ὑπεραγίας Θεοτόκου,
Ὠδὴ α΄.
Ἦχος πλ. δ΄.
Ἁρματηλάτην Φαραὼ

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Τὸ Θεοτόκον σε κηρύττειν ἄχραντον, πάσης αἱρέσεως, ἀποτροπὴν φέρει· σάρκα γὰρ γενόμενον, ἀναλλοιώτως ἔτεκες, τὸν ἐπέκεινα πάσης, Θεογεννῆτορ τῆς κτίσεως, Λόγον τοῦ Θεοῦ τὸν ἀΐδιον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὡς Θεοῦ Μήτηρ παρρησίαν ἔχουσα, πρὸς τὸν τεχθέντα ἐκ σοῦ, μονογενῆ Λόγον, καὶ Πατρὶ συνάναρχον, καὶ συμφυῆ τῷ Πνεύματι, δυσωποῦσα μὴ παύσῃ, κινδύνων σῶσαι Πανάμωμε, τοὺς σὲ Θεοτόκον δοξάζοντας.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σὲ Θεομῆτορ προστασίαν ἔχοντες, οὐ δειλιάσομεν, τὸ τῶν ἐχθρῶν στῖφος, τὸ ἀντιμαχόμενον, τοῖς εὐσεβῶς δοξάζουσι, τὸν ἐκ σοῦ σαρκωθέντα, Θεὸν τῶν ὅλων καὶ Κύριον, ὃν ὑπὲρ ἡμῶν ἐκδυσώπησον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Νοῦς καὶ οὐράνιος τὸ σὸν Μυστήριον, τὸ ἀκατάληπτον, κατανοεῖν ὄντως, ἀτονεῖ Πανύμνητε· τοῦ γὰρ Πατρὸς ὁ σύνθρονος, ἐν γαστρί σου σκηνώσας, ἐκ σοῦ τεχθῆναι εὐδόκησε, φύσεσι διτταῖς γνωριζόμενος.

Ὠδὴ α΄, τῶν Μαρτύρων
Ἦχος δ΄
Θαλάσσης, τὸ ἐρυθραῖον πέλαγος,

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Βραβεύων, ἐν οὐρανοῖς τὰ ἔπαθλα, τοῖς ἐπὶ γῆς ἀθληταῖς, ἀγωνοθέτης κάθηται Χριστός, δεξιᾷ Παντοκράτορι, τοῖς ἀμφὶ τὸν Εὐστράτιον, θείους στεφάνους προτεινόμενος.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Χορείαν μαρτυρικὴν πεντάριθμον, δεῦτε κατίδωμεν, ὑπερφυεῖ ἀστράπτουσαν φωτί, κεκτημένην ταξίαρχον, τὸν ποθητὸν Εὐστράτιον, χάριτι θείᾳ στεφανούμενον.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Τὴν ζωήν, τοῦ ἐπὶ γῆς στρατεύματος, ἀπεκδυσάμενος, τῷ ἀληθεῖ προσάγῃ Βασιλεῖ, τῆς ἀθλήσεως σύμβολον, παρὰ Χριστοῦ Εὐστράτιε, δι΄ Αὐξεντίου κομισάμενος.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Ἀστέρες, ἐν οὐρανῷ τῆς πίστεως, ἀεὶ κινούμενοι, τὰς τῶν πιστῶν λαμπρύνουσι ψυχάς, φωτισμὸν ἀποστίλβοντες, οἱ περὶ τὸν Εὐστράτιον, οὓς ἐπαξίως εὐφημήσωμεν.

Δόξα... Τῆς Ἁγίας

Πορφύραν, σῶν ἐξ αἱμάτων βάψασα, καὶ στολισθεῖσα φαιδρῶς, περιφανῶς τὰ ἄνω κατοικεῖς, ὡς Παρθένος βασίλεια, καὶ θεϊκαῖς λαμπρότησι, Μάρτυς Λουκία κατηγλάϊσαι.

Καὶ νῦν... Θεοτοκίον

Χωρίον, χωρητικὸν γεγένησαι, τῆς θείας φύσεως, θεογεννῆτορ Ἄχραντε· διό, σὲ Λουκία ποθήσασα, παρθενικῶς ὀπίσω σου, τῷ σῷ Υἱῷ προσαπενήνεκται.

Κανὼν Σταυρώσιμος,
ᾨδὴ γ΄. Ἦχος πλ. δ΄. Ὁ Εἱρμὸς.

Ῥάβδος εἰς τύπον, τοῦ Μυστηρίου παραλαμβάνεται· τῷ βλαστῷ γὰρ προκρίνει τὸν Ἱερέα, τῇ στειρευούσῃ δὲ πρώην, Ἐκκλησίᾳ νῦν ἐξήνθησε, ξύλον Σταυροῦ, εἰς κράτος καὶ στερέωμα.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Μέλανα κόσμον, μετημφιάσθη ὁρῶν ὁ ἥλιος, ἐπὶ ξύλου σε ἀδίκως ἀρθέντα, καὶ διερράγησαν πέτραι, καὶ γῆ φόβῳ πᾶσα ἔφριξε, μόνε Σωτήρ, εἰς πάντων ἀπολύτρωσιν.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἁπλώσας χεῖρας, Μωσῆς ἐτύπου Σταυρὸν τὸν τίμιον, ὃν ἡμεις νῦν ἐκτυποῦντες ἐμφρόνως, ἔθνη ἀλλόφυλα πάντα, των δαιμόνων ἐκτρεπόμεθα, βλάβης ἐκτός, ἀπάσης διαμένοντες.

Σταυροθεοτοκίον

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Νομίμων δίχα, τῶν ἀνθρωπίνων σε Τέκνον ἔτεκον, καὶ πῶς ἄνομοι ὑψοῦσί σε ξύλῳ, μέσον ἀνόμων τὸν μόνον, νόμους ζωῆς ἐκτιθέμενον; ἡ Θεοτόκος, θρηνῳδοῦσα ἀπεφθέγγετο.

Κανὼν τῆς Ὑπεραγίας Θεοτόκου.
Ὠδὴ γ΄.
Ἦχος πλ. δ΄. Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Νενεκρωμένον μου τὸν νοῦν, τῇ τῆς ζωῆς ἐνεργείᾳ, τῆς ἐκ σοῦ φανερωθείσης τῷ κόσμῳ, διανάστησον, οὐλάς, καὶ τύπους ἐξαλείφουσα, τῆς ἁμαρτίας μόνη, Θεογεννῆτορ πανάμωμε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ῥήσεις τῶν θείων Προφητῶν, καὶ τὰς αὐτῶν προφητείας, ἐπεσφράγισας, τεκοῦσα τὸν Λόγον, τὸν λαλοῦντα δι΄ αὐτῶν, καὶ τὰς αὐτῶν πληρώσαντα, θεηγορίας μόνη, εὐλογημένη Πανάμωμε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἀπειρογάμως ἐκ Πατρός, τὸν πρὸ αἰώνων ἀφράστως, ἐν γαστρί σου συλλαβοῦσα Παρθένε, ἀπεγέννησας ἡμῖν, Θεὸν ὁμοῦ καὶ ἄνθρωπον, ἐν ἑκατέρᾳ φύσει, τέλειον οὐ διαιρούμενον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σοῦ τὴν ἁγίαν ὁ Θεός, γαστέρα κατασκηνώσας, ἐσαρκώθη Θεομῆτορ ὡς οἶδε, καὶ διέσωσεν ἡμᾶς, τοῖς ζωηφόροις πάθεσιν· ὅθεν σε σωτηρίας, πύλην Παρθένε γινώσκομεν.

Ὠδὴ γ΄, τῶν Μαρτύρων
Ἦχος δ΄
Εὐφραίνεται ἐπὶ σοί,

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Ἐλπίδι τῶν αἰκισμῶν, ὥσπερ ἀΰλου θησαυροῦ γέγονας, ὑπερφυῶς ἔμπλεως, πάσης θυμηδίας Εὐστράτιε.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Σοφίᾳ Πνευματικῇ, ὑπομονῇ τε πειρασμῶν ἤλεγξας, Μάρτυς Χριστοῦ Αὐξέντιε, τὴν τυραννικὴν ἀθεότητα.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Ὡς κόσμος θεολαμπής, τῆς Ἐκκλησίας τῶν πιστῶν Μάρτυρες, τὰ Χριστοῦ στίγματα, περιηνθισμένοι γεγόνατε.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Τὰ μέλη καρτερικῶς, ἀθλητικῆς καταφλεχθεὶς ἄνθραξιν, εἰδωλικῆς ἔσβεσας, πλάνης τὴν μανίαν Εὐστράτιε.

Δόξα... Τῆς Ἁγίας

Ὡς νύμφη περικαλής, τοῦ βασιλέως καὶ Θεοῦ ἔνδοξε, Μάρτυς Λουκία εἴληφας, νῦν τῶν οὐρανῶν τὰ βασίλεια.

Καὶ νῦν... *Θεοτοκίον*

Κυρίως καὶ ἀληθῶς, σὲ Θεοτόκον οἱ πιστοὶ σέβομεν· σὺ γὰρ Θεὸν τέτοκας, σάρκα γεγονότα Πανάμωμε.

*Ὠδὴ γ΄, τοῦ μηναίου*

*Ἦχος δ΄*

*Ὁ Εἱρμὸς*

Εὐφραίνεται ἐπὶ σοί, ἡ Ἐκκλησία σου Χριστὲ κράζουσα· Σύ μου ἰσχὺς Κύριε, καὶ καταφυγὴ καὶ στερέωμα».

*Ἦχος λ΄ τος β λ*



Κάθισμα
Ἦχος πλ. δ΄
Τὴν Σοφίαν καὶ Λόγον

Τῆς Τριάδος τῇ πίστει ὀχυρωθείς, ἀληθείας σφενδόνῃ καθοπλισθείς, τῆς πλάνης κατέβαλες, τὸ ἀλλόφυλον θράσος, καὶ τοῦ ἐχθροῦ ἁρπάσας, τῶν λόγων τὴν μάχαιραν, ἐν αὐτῇ ἀπέτεμες, τοῦ ψεύδους τὴν ἔνστασιν· ὅθεν τοῖς τροπαίοις, θριαμβεύων τῆς νίκης, τῷ σώματι τέθνηκας, τῷ δὲ πνεύματι ἔζησας, Ἀθλοφόρε Εὐστράτιε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα... ἕτερον Ἦχος δ΄
Ἐπεφάνης σήμερον

Τῶν Μαρτύρων αἵμασιν, ἡ Ἐκκλησία, ἀρδευθεῖσα ἤνθησεν, ὀρθοδοξίαν τοῖς πιστοῖς, ἐγκαυχωμένη καὶ λέγουσα· Κλέος Μαρτύρων ἐδείχθητε Ἅγιοι.

Καὶ νῦν... Σταυροθεοτοκίον

Ἡ Ἁγνὴ καὶ ἄσπιλος, Μήτηρ σου Λόγε, μητρικῶς ἠλάλαζεν, ὀδυρομένη ἐν κλαυθμῷ, ἐν τῷ Σταυρῷ ὡς ἑώρακε, προσηλωθέντα σε μόνε μακρόθυμε.

## ᾨδὴ στ΄, τοῦ Μηναίου

### Ἦχος δ΄.

### Ὁ Εἱρμὸς

Θύσω σοι, μετὰ φωνῆς αἰνέσεως Κύριε, ἡ Ἐκκλησία βοᾷ σοι, ἐκ Δαιμόνων λύθρου κεκαθαρμένη, τῷ δι΄ οἶκτον, ἐκ τῆς πλευρᾶς σου ῥεύσαντι αἵματι».



Κοντάκιον
Ἦχος πλ. β´
Τὴν ἐν πρεσβείαις

Φωστὴρ ἐφάνης λαμπρότατος τοῖς ἐν σκότει, τῆς ἀγνωσίας καθημένοις, Ἀθλοφόρε, πίστιν ὡς δόρυ δὲ περιθέμενος, τῶν δυσμενῶν τὰ θράση, οὐκ ἐπτοήθης Εὐστράτιε, Ῥητόρων ὑπάρχων εὐγλωττότερος.

Ὁ Οἶκος

Τὸ ζοφερὸν Χριστὲ τῆς ψυχῆς μου διασκέδασον, ὅπως ἀνυμνήσω λαμπρῶς χορὸν Μαρτύρων πεντάριθμον, Αὐξέντιον, τὸν ἐν αὐξήσει θεϊκῆς πολιτείας ἀνατραφέντα, καὶ τὸν σοφὸν καὶ γενναῖον ἐν τοῖς ἄθλοις Εὐγένιον, σὺν τούτοις καὶ τὸν Ὀρέστην, τὸν τοῖς θείοις διαιτώμενον ὄρεσι, Μαρδάριον τὸν ἁπλούστατον, οὗ ὑπῆρξεν Εὐστράτιος καθηγητής, Ῥητόρων ὑπάρχων εὐγλωττότερος.

Σ Υ Ν Α Ξ Α Ρ Ι Ο Ν

Τῇ ΙΓ´ τοῦ αὐτοῦ μηνός, Ἄθλησις τῶν Ἁγίων ἐνδόξων τοῦ Χριστοῦ Μαρτύρων, Εὐστρατίου, Αὐξεντίου, Εὐγενίου, Μαρδαρίου καὶ Ὀρέστου.

Στίχοι

Τὸν Εὐστράτιον καὶ συνάθλους δὶς δύω,

Ἅπαξ δύω κτείνουσι πῦρ τε καὶ ξίφος.

Τούς γε σὺν Εὐστρατίῳ δεκάτῃ τρίτῃ ἔκτανεν ἄορ.

Τῇ αὐτῇ ἡμέρᾳ , Μνήμη τῆς Ἁγίας Μάρτυρος Λουκίας τῆς Παρθένου.

Στίχοι

Ὡς Παρθένος μέν, ἓν στέφος ἡ Λουκία.

Ὡς δ᾽ ἐκ ξίφους καὶ Μάρτυς, ἄλλο λαμβάνει.

Τῇ αὐτῇ ἡμέρᾳ , Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἀρσενίου τοῦ ἐν τῷ Λάτρῳ.

Ὁ Ὅσιος Ἄρης ἐν εἰρήνῃ τελειοῦται,

Μνήμη τοῦ Ἁγίου νέου ἱερομάρτυρος Γαβριὴλ ἀρχιεπισκόπου Σερβίας, τοῦ ἐν Προύσῃ μαρτυρήσαντος κατὰ τὸ 1659.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ η΄, τοῦ μηναίου

Ἦχος δ΄

Ὁ Εἱρμὸς

Στίχ. Αἰνοῦμεν, εὐλογοῦμεν, καὶ προσκυνοῦμεν τὸν Κύριον,

Χεῖρας ἐκπετάσας Δανιήλ, λεόντων χάσματα ἐν λάκκῳ ἔφραξε, πυρὸς δὲ δύναμιν ἔσβεσαν, ἀρετὴν περιζωσάμενοι, οἱ εὐσεβείας

ἐρασταί, Παῖδες κραυγάζοντες· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.




*Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτός...*

## Τιμιωτέρα τετάρτου ἤχου.

Τιμιωτέρα Ἦχος



τα πει νω σιν της δου λης αυ του ι δου

γαρ α πο του νυν μα κα ρι ου σι με πα

σαι αι γε νε αι

Την Τι μι ω τε ραν των Χε ρου βιμ και

εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα

φειμ την α δι α φθο ρως Θε ον Λο γον τε

κου σαν την ον τως Θε ο το κον σε με γα λυ

νο μεν

Στίχος γ' Ο τι ε ποι η σε μοι με γα

λει α ο δυ να τος και α γι ον το

ο νο μα αυ του και το ε λε ος αυ του

εις γε νε αν και γε νε αν τοις φο βου

με νοις αυ τον

Την Τι μι ω τε ραν των Χε ρου βιμ και

εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα φιμ

την α δι α φθο ρως Θε ον Λο γον τε κου

σαν την ον τως Θε ο το κον σε με γα λυ νο

μεν

Στίχος δ΄ Ε ποι η σε κρα τος εν βρα χι

ο νι αυ του δι ε σκορ πι σεν υ πε

ρη φα νους δι α νοι α καρ δι ας αυ των

Την Τι μι ω τε ραν των Χε ρου βιμ και

εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα φιμ

την α δι α φθο ρως Θε ον Λο γον τε κου

σαν την ον τως Θε ο το κον σε με γα λυ νο

μεν

Στίχος ε' Κα θει λε δυ να στας α πο θρο

νων και υ ψω σε τα πει νους πει νων τας ε

νε πλη σεν α γα θων και πλου του ουν τας ε

ξα πε στει λε κε νους

Την Τι μι ω τε ραν των Χε ρου βιμ και

εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα

φιμ την α δι α φθο ρως Θε ον Λο γον τε


κου σαν την ον τως Θε ο το κον σε με γα λυ
νο μεν
Στίχος στ' Ἀν τε λα βε το Ισ ρα ηλ παι
δος αυ του μνη σθη ναι ε λε ους κα θως
ε λα λη σε προς τους πα τε ρας η μων
τω Α βρα αμ και τω σπερ μα τι αυ του ε
ως αι ω νος
Την Τι μι ω τε ραν των Χε ρου βιμ
και εν δο ξο τε ραν α συγ κρι τως των
Σε ρα φιμ την α δι α φθο ρως Θε ον
Λο γον τε κου σαν την ον τως Θε ο το κον

σε με γα λυ νο μεν

Εἶτα ψάλλεται ἡ θ΄ ᾠδὴ τοῦ Μηναίου

Ἦχος δ΄.

Ὁ Εἱρμὸς

Λίθος ἀχειρότμητος ὄρους, ἐξ ἀλαξεύτου σου Παρθένε, ἀκρογωνιαῖος ἐτμήθη, Χριστὸς συνάψας, τὰς διεστώσας φύσεις· διὸ ἐπαγαλλόμενοι, σὲ Θεοτόκε μεγαλύνομεν.

Ἦχος λ΄ τος

Λι θος α χει ρο τμη τος ο ρους εξ α λα ξευ του σου Παρ θε νε α κρο γω νι αι ος ε τμη η θη Χρι στος συ να α ψας τας δι ε στω σας φυ σεις δι ο ε πα γαλ λο με νοι σε ε Θε ο το κε με γα λυ νο μεν

Ἦχος λ Βου


Ἄ ξι ον ε στιν ως α λη θως μα κα
ρι ζειν σε την Θε ο το κον την α ει μα
κα ρι στον και πα να μω μη τον και μη
τε ρα του Θε ου η μων τη τι μι ω
τε ραν των Χε ρου βιμ και εν δο ξο τε ραν α
συγ κρι τως των Σε ρα φιμ την α δι α φθο
ρως Θε ο ον Λο ο γον τε κου σαν την ον τως
Θε ο το κον σε ε με γα λυ νο με ε ε ε εν

Ἐξαποστειλάριον
Ἦχος β΄
Γυναῖκες ἀκουτίσθητε

Τὸν ῥήτορα Εὐστράτιον, ἐν ὕμνοις εὐφημήσωμεν, Αὐξέντιόν τε σὺν τούτῳ, Μαρδάριον καὶ Ὀρέστην, καὶ τὸν σοφὸν Εὐγένιον, ὑπὲρ Χριστοῦ ἀθλήσαντας, καὶ ἐκτενῶς πρεσβεύοντας, ὑπὲρ ἡμῶν τῶν ὑμνούντων, τὴν ἱερὰν αὐτῶν Μνήμην.

Θεοτοκίον
Ἦχος β΄
Γυναῖκες ἀκουτίσθητε

Σοφίαν ἐνυπόστατον, καὶ Λόγον ὑπερούσιον, καὶ ἰατρὸν τῶν ἁπάντων, Χριστὸν τεκοῦσα Παρθένε, τα ἕλκη καὶ τὰ τραύματα, τῆς ψυχῆς μου θεράπευσον, τὰ χαλεπὰ καὶ χρόνια, καὶ τῆς καρδίας μου παῦσον, τὰς ἀπρεπεῖς ἐνθυμήσεις.

## Εἰς τούς αἴνους.

### Ἦχος Πα

Πα α α σα πνο ο η η αι αι αι νε ε
σα α α τω ω το ον Κυ υ υ ρι ι ι ι
ον αι νει τε τον Κυ ρι ι ον εκ τω ω ω
ων ου ρα α νω ω ω ων αι νει ει ει τε
ε α αυ το ο ον εν τοι οι οις υ ψι
ι ι ι στοις σοι πρε ε πει υ υ υ μνος τω
ω ω ω Θε ε ε ε ω ω

Αι νει τε αυ το ον πα α α αν τες οι
Α αγ γε ε λοι οι οι α α α αυ του αι
νει ει ει ει τε α α αυ τον πα σαι αι

δυ να α α μεις α αυ του ου ου ου σοι

πρε ε πει υ υ υμνος τω ω ω Θε ε ε ε

ω ω ω ω

Εἰς τοὺς Αἴνους, ἱστῶμεν Στίχ. δ' καὶ ψάλλομεν Στιχηρὰ ἰδιόμελα.

Ἦχος Πα

Αἰ νει τε αυ τον ε πι ταις δυ να στει

αις αυ του αι νει τε αυ τον κα τα το πλη

θος της με γα λω συ υ υ νη ης α α

αυ του

Τὴν πεντάριθμον χορείαν, τῶν Ἁγίων εὐφημήσωμεν λαοί, τὸν Σωτῆρα ἀνυμνοῦντες Χριστόν, Εὐστράτιον τὸν καρτερόψυχον καὶ στερρὸν Ἀθλοφόρον, σὺν αὐτῷ Αὐξέντιον, Εὐγένιον, Μαρδάριον καὶ Ὀρέστην· οὗτοι γὰρ

ὑπὲρ τῆς πίστεως ἀθλοῦντες, τὰς τρικυμίας κατεπάτησαν ἐχθρῶν, καὶ τῷ Σωτῆρι πρεσβεύουσιν, ἱλασμὸν καὶ ἄφεσιν ἁμαρτιῶν, δωρηθῆναι τοῖς ἐν πίστει ἐκτελοῦσι, τὴν μνήμην αὐτῶν.

Την πεν τα ριθ μον χο ρει αν των Α

γι ων ευ φη μη σω ω μεν πι στοι τον Σω τη

ρα α νυ μνου ου ουν τες Χρι στον Ευ στρα τι

ον τον καρ τε ρο ο ψυ υ χον και στερ ρον

α θλο ο φο ο ρον συν αυ τω Αυ ξεν τι ον

Ευ γε νι ι ον Μαρ δα α α α ρι ι ι ον

και αι Ο ρε ε ε ε στην ου τοι γαρ υ περ

της πι στε ως α α θλου ου ου ουν τες τας τρι

κυ μι ας κα τε πα τη η σαν εχ θρων και




**Ρ**ητορικοῖς ἔπεσιν ὁ Χριστοῦ στρατιώτης, τοὺς ἀνόμους κατέπληξεν, ἀθλητικοῖς στίγμασι, τοῦ ἐχθροῦ τὰς δυνάμεις ἀνδρικῶς ἐτροπώσατο, Εὐστράτιος ὁ ἔνδοξος, καὶ στερρὸς Ἀθλοφόρος, ὁ τὴν στενὴν καὶ τεθλιμμένην βαδίσας ὁδόν, καὶ εἰς γῆν καταντήσας τῆς αἰωνίου ζωῆς, εἰς ἣν καὶ δυσωπεῖ τῷ Χριστῷ, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.


Ρη το ρι κοι οις ε πε σιν ο Χρι στου
ου στρα α α α τι ι ω ω ω ω της τους α
νο ο ο ο μους κα α τε ε ε ε πλη η
η ξε εν α θλη τι κοι οις στι ι ιγ μα α
σι του εχ θρου ου τα α α ας δυ υ να α
α α μεις αν δρι κω ω ω ως ε ε τρο πω σα το ο
Ευ στρα τι ι ο ο ος ο ε ε εν δο ξος
και στερ ρο ος α α α α θλο ο φο ο ο ρος ο
την στε νην και τε θλιμ με νην βα δι ι ι ι
σα ας ο ο ο δον και εις γη ην κα α
α α τα αν τη η η σας της αι ω ω νι ι ι




Ἦχος Γα




Τὸν ἐν τῇ θείᾳ σοφίᾳ ἀναφανέντα φιλόσοφον, καὶ ἐν τῷ κάλλει τῶν λόγων ἀποδειχθέντα ῥήτορα, τὸν ἐν Μάρτυσιν μέγαν Εὐστράτιον, ἀθλητικοῖς ἐγκωμίοις εὐφημήσωμεν· συνασπισμὸν γὰρ οὗτος ὁ Χριστοῦ στρατιώτης εὐσεβῆ συστησάμενος, ἐν

καιρῷ τῶν πολέμων, τὰ τῶν ἀγώνων ἆθλα διαταττόμενος, τοῦ ἐχθροῦ ἀφαρπάσας τὴν μάχαιραν, ἐν αὐτῇ τοῦτον κατέτρωσε, πρὸς ὃν βοήσωμεν· Μαρτύρων ἄριστε, σὺν τοῖς συνάθλοις σου, πρέσβευε Χριστῷ τῷ Θεῷ, ὑπὲρ τῶν πίστει τελούντων, τὴν πάνσεπτον μνήμην σου.




σε βη συ στη σα α με ε νος ε εν και αι
ρω ω ω ω τω ων πο λε ε ε μω ων
τα των α γω νω ων α α α θλα δι α τατ το
ο με ε ε ε νο ο ος του εχ θρου ου α φαρ
πα α α α σα ας την μα χαι ρα αν εν αυ τη
του ου ου ου ου τον κα τε ε ε στρω σε
προς ον βο ο η η η σω ω ω με εν μαρ
τυ υ υ ρων α α α ρι στε συν τοις συ να
θλοι οις σου πρε σβευ ε Χρι στω ω ω ω τω
ω Θε ε ε ω ω υ περ των πι στει τε
λου ου ουν τω ων την πα α α αν σε πτο ον




Στεφανούσθωσαν παρ΄ ἡμῶν ἐγκωμίοις, οἱ καλλίνικοι τῆς ἀληθείας μάρτυρες, Εὐστράτιος, ὁ τῆς Ἑλλήνων μυθοπλασίας στηλιτευτής, καὶ τῆς Χριστιανῶν θεοσοφίας κήρυξ, Αὐξέντιος, ὁ σοφίᾳ λόγων, καὶ ὑπομονῇ ἔργων, τυραννικὴν ἐλέγξας ἀθεότητα. Πρὸς τούτοις, Εὐγένιος ὁ Θεῷ εὔχρηστος, καὶ τυράννοις ἄχρηστος, διὰ τὴν σωτήριον ὁμολογίαν, καὶ Ὀρέστης, ὁ ἀθλητὴς καὶ θαυμαστός, τοῦ Βασιλέως τῶν ὅλων στρατιώτης, μεθ΄ ὧν καὶ Μαρδάριος, ὁ περιστερᾶς ἀκεραιότερος, τόν φρόνιμον αἰσχύνας ὄφιν, διὰ τῆς χάριτος Χριστοῦ τοῦ Θεοῦ, καὶ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.


Στε φα νου σθω σαν παρ η μω ω ων εγ
κω ω μι ι ι οις οι καλ λι νι κοι της α
λη θει ει ει ας μαρ τυ υ υ ρες Ευ στρα
τι ος ο της Ελ λη νων μυ θο πλα σι ι ας
στη η λι τε ευ της και της χρι στι α νων
θε ο σο φι ι ι ας κη η η η ρυξ Αυ ξεν
τι ος ο σο φι ι ι α α λο ο ο γων και υ
πο μο νη ε ερ γων τυ ραν νι κην ε λεγ
ξας α α θε ε ο ο ο τη η η η τα προς
του τοις Ευ γε νι ος ο Θε ω ω ω
ευ χρη η η στος και τυ ραν νοι οι οις


α χρη η στος δι α την σω τη η ρι ι
ο ο ο ον ο μο ο ο λο γι ι ι ι αν
και Ο ρε ε στης ο α θλη της και αι θαυ μα
α στος του βα σι λε ως τω ω ων ο ο
λων στρα α α τι ω ω ω ω της μεθ ων
και Μαρ δα ρι ι ος ο πε ρι στε ρας α κε
ραι ο τε ε ρος τον φρο νι μον αι σχυ να ας ο
ο ο ο ο φιν δι α της χα ρι τος Χρι
στου του Θε ε ου και σω τη η ρος των ψυ υ
χω ων η η μω ων

Δόξα...

Δοξαστικὸν Ἦχος δ΄

Τὴν πεντάχορδον λύραν, καὶ πεντάφωτον λυχνίαν, τῆς τοῦ Θεοῦ Ἐκκλησίας, τοὺς θεοφόρους Μάρτυρας, φερωνύμως ὑμνήσωμεν, καὶ εὐσεβῶς ἐγκωμιάσωμεν· Χαίροις, ὁ καλῶς ὑπὸ Θεοῦ στρατευθείς, ἐν τῇ ἐπουρανίῳ στρατιᾷ, καὶ τῷ στρατολογήσαντι ἀρέσας, ὁ ἐν ῥήτορσι ῥήτωρ, Εὐστράτιε θεόσοφε. Χαίροις, ὁ τὸ τάλαντον, τὸ ἐκ Θεοῦ σοι πιστευθέν, ἐπαυξήσας εἰς πλῆθος, Αὐξέντιε Μακάριε. Χαίροις, ὁ τερπνότατος ὅρπηξ, τῆς θεϊκῆς εὐγενείας, Εὐγένιε θεόφρον· Χαίροις, ὁ ὡραῖος τῇ μορφῇ, τῇ δὲ γνώμῃ ὑπέρκαλος, καὶ ἀμφοτεροδέξιος, ὁ ἐν τοῖς ὄρεσιν ἐνδιαιτώμενος ὅλος, πανόλβιε Ὀρέστα. Χαίροις, ὁ στίλβων καὶ διαυγὴς μαργαρίτης, ὁ τάς βασάνους τὰς πικράς, χαρμονικῶς ὑπομείνας, Μαρδάριε ἀήττητε. Χαίροις, ὁ ἰσάριθμος χορὸς τῶν φρονίμων Παρθένων, οὓς καθικετεύομεν, πάσης ὀργῆς καὶ θλίψεως λυτρώσασθαι, καὶ τῆς ἀφράστου ὑμῶν δόξης, συμμετόχους ποιῆσαι, τοὺς τὴν ἐτήσιον ὑμῶν, μνήμην γεραίροντας.


Ἦχος Πα
Δο ο ξα Πα τρι ι ι ι και Υι υι υι
ω και Α γι ι ω Πνε ε ε ευ μα
α α α τι
Την πεν τα χορ δον λυ υ υ ραν και πεν τα
φω τον λυ υ χνι ι ι αν της του Θε ου Εκ
κλη η σι ι ι α ας τους θε ο φο ο ρου
ους μα α αρ τυ υ υ υ ρας φε ρω νυ μως
υ υ υ μνη σω ω μεν και ευ σε βως εγ κω ω
μι ι α α α σω ω ω ω μεν χαι ροις ο κα
λως υ πο Θε ου στρα τευ θεις εν τη ε


που ρα νι ι ω ω στρα τι α α α και
τω στρα το λο γη σαν τι α α ρε ε ε σας
ο εν ρη το ο ορ σι ρη η η η τωρ Ευ
στρα τι ε ε θε ε ο ο ο σοο ο ο φε
χαι ροις ο το τα λα αν τον το εκ Θε ου ου σοι
οι πι στευ θεν ε παυ ξη σας εις πλη η θος Αυ
ξε εν τι ι ε ε ε μα κα α α α ρι ι ι ι
ε χαι ροις ο τερ πνο τα τος ο ορ πηξ της
θε ι κης ευ γε ε νει ει ει ας Ε ευ γε ε
ε ε νι ε ε θε ο ο ο ο φρον χαι
ροις ο ω ραι ο ος τη μορ φη τη δε γνω μη


υ υ υ περ κα α λος καὶ αμ φο τε ρο δε
ξι ι ος ο εν τοις ο ρε ε σιν εν δι αι
τω με νο ο ος ο ο ο λος πα νολ βι ε Ο ο
ρε ε ε ε ε στα χαι ροις ο στιλ βων και δι
αυ γη η ης μα αρ γα α α ρι ι ι ι ι
της ο τας βα σα νου ους τας πι ι ι κρας
χαρ μο νι κως υ πο μει ει ει νας Μαρ δα ρι
ε ε α α η η ητ τη η η η τε χαι ροις
ο ι σα ρι ιθ μος χο ρος των φρο νι μων
πα αρ θε ε ε νων ους κα θι κε τε ευ ο ο
μεν πα σης ορ γης και θλι ψε ως λυ τρω ω ω




Καὶ νῦν... Σταυροθεοτοκίον

Ἦχος δ'

Ἔδωκας σημείωσιν

Νεκρούμενον βλέπουσα, Χριστὸν ἡ Πάναγνος Δέσποινα, καὶ νεκροῦντα τὸν δόλιον, ὡς Δεσπότην κλαίουσα, ὕμνει τὸν ἐκ σπλάγχνων, αὐτῆς προελθόντα, καὶ τὸ μακρόθυμον αὐτοῦ, ἀποθαυμάζουσα ἀνεκραύγαζε· Τέκνον μου ποθεινότατον, μὴ ἐπιλάθῃ τῆς δούλης σου, μὴ βραδύνῃς φιλάνθρωπε, τὸ ἐμὸν καταθύμιον.

# ΑΙΝΟΙ

## ΨΑΛΜΟΣ ΡΜΗ΄ (148)

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις.

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ, αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ.

Αἰνεῖτε αὐτόν, ἥλιος καὶ σελήνη, αἰνεῖτε αὐτόν, πάντα τὰ ἄστρα καὶ τὸ φῶς.

Αἰνεῖτε αὐτόν, οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.

Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι.

Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.

Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα, καὶ πᾶσαι κέδροι.

Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά.

Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ τῆς γῆς.

Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων, αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.

Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ, καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.

Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοὶς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.

## ΨΑΛΜΟΣ ΡΜΘ΄ (149)

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ Ὁσίων.

Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ , ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.

Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ, καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.

Καυχήσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν.

Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν,

ἐλεγμοὺς ἐν τοῖς λαοῖς.

Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.

Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον, δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

## ΨΑΛΜΟΣ ΡΝ΄ (150)

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ .

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλλαλαγμοῦ, Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Δόξα... Καὶ νῦν...

Ὁ προεστώς:

Σοὶ δόξα πρέπει, Κύριε, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Ἀναγνώστης χῦμα τό:

Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμεν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε Βασιλεῦ, ἐπουράνιε Θεέ, πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ Υἱός τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ΄ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα. Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς. ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ΄ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου.

Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ διάκονος:

Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Κύριε ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Κύριε ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου, αἰτησώμεθα.

Παράσχου Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα των ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καί τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Παράσχου Κύριε.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Σοὶ Κύριε.

Ὅτι Θεός ἐλέους, οἰκτιρμῶν, καὶ φιλανθρωπίας ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἀγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αιῶνας τῶν αἰώνων.

Ὁ χορός: Ἀμήν.

Ὁ Ἱερεύς: Εἰρήνη πᾶσι.

Ὁ χορός: Καὶ τῷ πνεύματί σου.

ὁ διάκονος: Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ χορός: Σοί, Κύριε.

Ὁ Ἱερεύς: Τὴν εὐχὴν τῆς κεφαλοκλισίας......

Ὁ Ἱερεύς: Σὸν γὰρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός: Ἀμήν.

*Καὶ ἀρχόμεθα ψάλλειν*
*τὰ Ἀπόστιχα τῶν Αἴνων.*
*Σταυρώσιμα.*

Καὶ ἀρχόμεθα ψάλλειν τὰ
Ἀπόστιχα τῶν Αἴνων.
Σταυρώσιμα

Τοῦ Μωσέως ἡ ῥάβδος, τὸν τίμιον Σταυρόν σου, προετύπου Σωτὴρ ἡμῶν· ἐν αὐτῷ γὰρ σῴζεις, ὡς ἐκ βυθοῦ θαλάσσης, τὸν λαόν σου Φιλάνθρωπε.




Στιχ. α΄. Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου, Κύριε, καὶ ἠγαλλιασάμεθα καὶ ηὐφράνθημεν ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν. Εὐφρανθείημεν, ἀνθ᾽ ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν, ὧν εἴδομεν κακά, καὶ ἴδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν.

Ἦχος πλ. δ΄, Ὁ ἐν Ἐδὲμ Παράδεισος

Ὁ ἐν Ἐδὲμ Παράδεισος ποτέ, τὸ ξύλον τῆς γνώσεως, ἀνεβλάστησεν ἐν μέσῳ τῶν φυτῶν, ἡ Ἐκκλησία σου Χριστέ, τὸν Σταυρόν σου ἐξήνθησε, τὸν πηγάσαντα τῷ κόσμῳ τὴν ζωήν, ἀλλὰ τὸ μὲν ἐθανάτωσε, βρώσει φαγόντα τὸν Ἀδάμ, τὸ δὲ ἐζωοποίησε, πίστει σωθέντα τὸν Ληστήν, οὗ τῆς ἀφέσεως, κοινωνοὺς ἡμᾶς ἀνάδειξον, Χριστὲ ὁ Θεός, ὁ τῷ πάθει σου λύσας, τὴν καθ΄ ἡμῶν μανίαν τοῦ ἐχθροῦ, καὶ ἀξίωσον ἡμᾶς, τῆς βασιλείας σου Κύριε.



τον Α δαμ το δε ε ζω ο ποι η σε πι ι

στει σω θεν τα τον Λη στην ου της α φε σε

ως κοι νω νους η μας α να δει ξον Χρι στε ο

Θε ος ο τω πα θει ει σου λυ υ υ σας την

καθ η μων μα νι αν του εχ θρου και α ξι

ω σον η μας της ου ρα νι ου Βα σι λει α ας

σου

Στιχ. β΄. Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ΄ ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ΄ ἡμᾶς, καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.

Μαρτυρικόν:

Τί ὑμᾶς καλέσωμεν

Τί ὑμᾶς καλέσωμεν Ἅγιοι; Χερουβίμ; ὅτι ὑμῖν ἐπανεπαύσατο Χριστός, Σεραφείμ; ὅτι ἀπαύστως ἐδοξάσατε αὐτόν, Ἀγγέλους; τὸ γὰρ

σῶμα ἀπεστράφητε, Δυνάμεις; ἐνεργεῖτε ἐν τοῖς θαύμασι. Πολλὰ ὑμῶν τὰ ὀνόματα καὶ μείζονα τὰ χαρίσματα. Πρεσβεύσατε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.



χα ας η η μων

## Δοξαστικὸν τῶν Ἀποστίχων

### Ἦχος πλ. δ΄ Πα

Δο ο ξα Πα τρι ι ι ι και Υι υι υι ω και Α γι ι ω Πνε ε ε ευ μα α α α τι

Ὑπὲρ τὴν τῶν Ἑλλήνων παιδείαν, τὴν τῶν Ἀποστόλων σοφίαν προέκριναν οἱ ἅγιοι Μάρτυρες, τὰς βίβλους τῶν ῥητόρων καταλείψαντες, καὶ ταῖς τῶν ἁλιέων ἐνδιαπρέψαντες· ἐκεῖ μὲν γὰρ εὐγλωττία ῥημάτων, ἐν δὲ ταῖς τῶν ἀγραμμάτων θεηγορίαις, τὴν τῆς Τριάδος ἐδιδάσκοντο θεολογίαν, ἐν ᾗ πρεσβεύουσιν ἐν εἰρήνῃ, φυλαχθῆναι τάς ψυχὰς ἡμῶν.

Υ περ την των Ελ λη νων παι αι δει ει ει αν την των Α πο στο λω ων σο ο φι ι


ι αν προ ε κρι ι ναν οι Α γι οι Μα α αρ
τυ υ υ υ ρες τας βι ι ι βλους των ρη το
ο ρω ων κα α τα λει ει ει ει ψα α α αν τες
και ταις των α λι ε ε ων εν δι ι α α πρε
ε ε ψα α α αν τες ε κει με εν γα αρ ευ
γλωτ τι α α ρη η μα α α των εν δε
ταις των α γραμ μα α α των θε η γο ο ρι ι
ι αις την της Τρι α δος ε δι δα σκο ο ον
το ο θε ο ο λο γι ι ι ι αν εν η
πρε σβε ε ευ ου ου ου ου σι ιν εν ει ρη
η η νη φυ λα χθη η ναι τας ψυ υ χας η η μω

ων

## Καὶ νῦν... Σταυροθεοτοκίον

Ἦχος δ΄

Ὡς γενναῖον ἐν Μάρτυσιν

Ἐν Σταυρῷ σε ὡς ἔβλεψε, τανυσθέντα ἡ Πάνσεμνος, ἀπειράνδρως Κύριε ὃν γεγέννηκεν, αἱματοφύρτοις ἐκπλύνασα, δακρύοις τὸ πρόσωπον, κέκραγεν ὀδυνηρῶς. Τὶ τὸ ξένον μυστήριον; ὁ κοσμήσας πρίν, Οὐρανὸν τοῖς φωστῆρσι, πῶς ἀκόσμως, νῦν ἐμπέπαρσαι τῷ ξύλω, ἄμορφος ἄπνους μακρόθυμε;

Ὁ Ἱερεύς: Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου Ὕψιστε, τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα.

Ἀναγνώστης: Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς (ἐκ γ΄)

Δόξα... Καὶ νῦν ...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.

Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,

Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.

Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Δόξα... Καὶ νῦν ...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ἱερεύς: Ὅτι σοῦ ἐστιν ἡ βασιλεία...

# 13-12-2019 ΟΡΘΡΟΣ ΠΑΡΑΣΚΕΥΗΣ ΗΧΟΣ ΠΛ. Δ'

## Ἀπολυτίκιον
### Ἦχος δ'. Ταχὺ προκατάλαβε

**Ο**ἱ Μάρτυρές σου, Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν, στεφάνους ἐκομίσαντο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· σχόντες γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλον, ἔθραυσαν καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση. Αὐτῶν ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

## **Δ**όξα... **Κ**αὶ νῦν...

### Τῇ Παρασκευῇ πρωΐ.
### Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος δ'.

**Σ**ὲ μεγαλύνομεν Θεοτόκε, βοῶντες· Σὺ εἶ ἡ βάτος, ἐν ᾗ ἀφλέκτως Μωσῆς, κατεῖδεν ὡς φλόγα, τὸ πῦρ τῆς Θεότητος.




πυρ της θε ο τη το ο ος

## 13-12-2019 ΟΡΘΡΟΣ ΠΑΡΑΣΚΕΥΗΣ ΗΧΟΣ ΠΛ. Δ'

Εἰς τήν Θείαν Λειτουργία

### ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ

Ἦχος πλ. δ' Νη




### ΕΤΕΡΑ




4. Κυ ρι ε ε ε λε η σο ο ον
5. Κυ ρι ε ε λε ε η σον
6. Κυ ρι ε ε λε ε ε η σον
7. Κυ ρι ε ε λε η σον
8. Κυ ρι ε ε λε η σον
9. Κυ ρι ε ε λε η σον
10. Κυ ρι ε ε λε ε η σον
11. Κυ ρι ε ε λε ε ε η σον
12. Σοι Κυ ρι ε

## Ἀντίφωνο Α΄

Ἦχος Δι



τερ σω σον η μας

Στίχ. γ΄ Ο τι ευ φρα νας με Κυ ρι

ε εν τοις ποι η μα σι σου και εν τοις

ερ γοις των χει ρων σου α γαλ λι α σο

μαι

Ταις πρε σβει αις της Θε ο το κου Σω

τερ σω σον η μας

Στίχ. δ΄ Ο τι ευ θυς Κυ ρι ος ο

Θε ος η μων και ουκ ε στιν α δι κι

α εν αυ τω

Ταις πρε σβει αις της Θε ο το κου Σω

τερ σω σον η μας

Δόξα Πατρὶ...Καὶ νῦν...

Το τελευταίον. Ταις πρε σβει αις της Θε ο

το ο κου Σω τερ σω σον η μα α ας

Ἀντίφωνο Β΄

Ἦχος Δι

Α μη ην

Στίχ. α΄ Ο Κυ ρι ος ε βα σι λευ

σεν ευ πρε πει αν ε νε δυ σα το ε

νε δυ σα το Κυ ρι ος δυ να μιν και

πε ρι ε ζω σα το

Πρε σβει αις των α γι ων σου σω σον η


μας Κυ ρι ε
Στίχ. β΄ Και γαρ ε στε ρε ω σε την
οι ου με νην η τις ου σα λευ θη σε
ται
Πρε σβει αις των α γι ων σου σω σον η
μας Κυ ρι ε
Στίχ. γ΄ Θαυ μα στοι οι με τε ω
ρι σμοι της θα λασ σης θαυ μα στος εν υ
ψη λοις ο Κυ ρι ος
Πρε σβει αις των α γι ων σου σω σον η
μας Κυ ρι ε


Στίχ. δ' Τα μαρ τυ ρι α σου ε πι
στω θη σαν σφο δρα τω οι κω σου πρε πει
α γι α σμα Κυ ρι ε εις μα κρο τη
τα η με ρων
Πρε σβει αις των α γι ων σου σω σον η
μας Κυ ρι ε
Δο ξα Πα τρι και Υι ω και Α γι
ω Πνευ μα τι
Και νυν και α ει και εις τους αι ω νας
των αι αι ω νων Α μην
Ο μο νο γε νης Υι ος και Λο γος


του Θε ου α θα να τος υ πα α α αρ χων
και κα τα δε ξα με νος δι α την η
με τε ραν σω τη ρι ι αν σαρ κω θη
ναι εκ της Α γι ας Θε ο το κου και α
ει παρ θε νου Μα ρι ας α τρε ε πτως ε
αν θρω πη σας σταυ ρω θεις τε Χρι στε ο Θε
ος θα να α τω ω θα να τον πα τη σας ει
εις ων της Α γι ας Τρι α δος συν δο ξα
ζο ο με νος τω Πα τρι και τω Α γι ω Πνευ
μα τι σω σον η μα α ας

Ἀντίφωνο Γ΄

## Ἀντίφωνο Γ΄
### Ἦχος Δι

Στιχ. α΄ Δευ τε α γαλ λι α σω με θα τω Κυ ρι ω α λα λα ξω μεν τω Θε ω τω Σω τη ρι η μων

Σω σον η μα ας Υἱ ε Θε ου ο εν Α γι οις θαυ μα στος ψαλ λον τας Σοι αλ λη λου ι α

Στιχ. β΄ Προ φθα σω μεν το προ σω πον αυ του εν ε ξο μο λο γη σει και εν ψαλ μοις α λα λα ξω μεν αυ τω

Σω σον η μα ας Υἱ ε Θε ου ο

εν Α γι οις ϑαυ μα στος ψαλ λον τας Σοι

αλ λη λου ι α

Στιχ. δ΄ Ο τι Θε ος με γας Κυ ρι ος

και βα σι λευς με γας ε πι πα σαν την

γην

Cω σον η μα ας Υι ε Θε ου ο εν

Α γι οις ϑαυ μα στος ψαλ λον τας Σοι αλ λη

λου ι α α α α

## Εἰσοδικό




### Ἀπολυτίκιον
### Ἦχος δ΄. Ταχὺ προκατάλαβε

**Ο**ἱ Μάρτυρές σου, Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν, στεφάνους ἐκομίσαντο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· σχόντες γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλον, ἔθραυσαν καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση. Αὐτῶν ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

## Κοντάκιον

### Παρασκευῇ, τοῦ Σταυροῦ

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι, Χριστὲ ὁ Θεός, εὔφρανον ἐν τῇ δυνάμει σου, τοὺς πιστοὺς βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς, κατὰ τῶν πολεμίων, τὴν συμμαχίαν ἔχοιεν τὴν σήν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

### Κοντάκιον τοῦ Σταυροῦ.

Ἦχος πλ. δ΄ Δι




μα χι αν ε χοι εν την σην ο πλον ει ρη
η νης α ητ τη τον τρο ο παι ο ο
ον

# ΑΠΟΣΤΟΛΙΚΟΝ ΑΝΑΓΝΩΣΜΑ ΠΑΡΑΣΚΕΥΗ ΚΣΤ΄ ΕΒΔΟΜΑΔΟΣ

Προκείμενον. Ἦχος βαρύς

Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν

Στίχ. Ὁ Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί.

Πρὸς Τιμόθεον Α΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα 4:4-8, 16

Τέκνον Τιμόθεε, πᾶν κτίσμα Θεοῦ καλόν, καὶ οὐδὲν ἀπόβλητον μετὰ εὐχαριστίας λαμβανόμενον· ἁγιάζεται γὰρ διὰ λόγου Θεοῦ καὶ ἐντεύξεως. Ταῦτα ὑποτιθέμενος τοῖς ἀδελφοῖς καλὸς ἔσῃ διάκονος Ἰησοῦ Χριστοῦ, ἐντρεφόμενος τοῖς λόγοις τῆς πίστεως καὶ τῆς καλῆς διδασκαλίας ᾗ παρηκολούθηκας. Τοὺς δὲ βεβήλους καὶ γραώδεις μύθους παραιτοῦ· γύμναζε δὲ σεαυτὸν πρὸς εὐσέβειαν· ἡ γὰρ σωματικὴ γυμνασία πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος· ἡ δὲ εὐσέβεια πρὸς πάντα ὠφέλιμός ἐστιν, ἐπαγγελίας ἔχουσα ζωῆς τῆς νῦν καὶ τῆς μελλούσης. Ἔπεχε σεαυτῷ καὶ τῇ διδασκαλίᾳ, ἐπίμενε αὐτοῖς· τοῦτο γὰρ ποιῶν καὶ σεαυτὸν σώσεις καὶ τοὺς ἀκούοντάς σου.

Ἀλληλούϊα Ἦχος α΄

Μνήσθητι τῆς συναγωγῆς σου, ἧς ἐκτήσω ἀπ᾽ ἀρχῆς

Στίχ. Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰώνων, εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.


Ἦχος Πα
Κυ ρι ε ε λε η σον
Κυ ρι ε ε ε λε η σον
Κυ ρι ε ε ε λε η σον
Σοι Κυ ρι ε
Α μη η η η ην
Και τω πνευ μα τι ι ι ι ι σου
Ἕτερον.
Σοι οι οι οι οι Κυ ρι ε
Σοι Κυ ρι ε ε ε ε ε ε
Α α α μην

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς,
ἁγιασθήτω τὸ ὄνομά σου,
ἐλθέτω ἡ βασιλεία σου,
γενηθήτω τὸ θέλημά σου,
ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς.
Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον
δὸς ἡμῖν σήμερον,
καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν,
ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν,
καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν,
ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

## ΕΙΣ ΑΓΙΟΣ

Ἦχος πλ. δ' Πα Ἐναρμόνιος



Ἦχος


Ει ει ει ει ει εις Α α α α
γι ι ι ος ει ει ει ει ει εις
Κυ υ υ υ υ ρι ι ι ος Ι η σους
Χρι ιστος εις δο ο ο ξαν Θε ου Πα τρος
Α α μην


Ἦχος Πα
Α α α νες Α α α φες Συγ
χω ω ρησον Ο Θε ε ε ος Τα Πα
ρα α πτω ω μα α τα Η μων Τα
Ε κου ου σι ι ι α τα α κου ου
ου σι ι ι α τα εν γνω ω ω σει και τα εν
α γνοι οι οι οι οι οι οι οι οι α τα α εν
νυ υ κτι και ε ε εν η η με ε ε ε
ρα τα κα τα νουν και δι α α νοι οι αν
τα πα αν τα η μιν συγ χω ω ω ρη σον
ως α γα θο ος και αι αι φι λα α α
α αν θρω ω ω πο ο ο ος

## Χριστέ το φῶς τό ἀληθινόν.

### Ἦχος Πα



μω ω ων Δ προς ερ γα σι ι ι αν τω ω

ω ων ε εν το ο ο λω ω ω ων σου π πρε

σβει ει αις της πα να χρα αν του ου ου σου

ου Μη η η τρος χ και πα αν των ων σου ου

των Α γι ω ω ων α μην Δ

Κοινωνικόν

## Τῇ Παρασκευῇ ( Σταυρώσιμον)

Ἦχος Δι ΑΓΙΑ



# Κοινωνικόν τῆς Παρασκευῆς.

## Ψαλμός 73ος

Ἦχος Πα




α μει ει σου την θα α α λα α α ασ σαν
συ συ νε ε τρι ι ι ψας τας κε ψα λας των
δρα κο ον των ε πι ι του υ υ δα α το ο
ος Α αλ λη λου ου ου ου ι α
Συ δι ερ ρη ξας πη γα ας και χει ει
μα α α αρ ρους συ ε ξη ρα α νας πο τα μου
ου ους Η η η η θα α αμ Α α αλ λη
λου ου ι ι α
Ση ε στι ιν η η η με ε ε ρα και ση η
ε ε ε στι ιν η η η νυξ Συ κα τηρ
τι σω φα α αυ σιν και Η η η λι ι ι ι ο


ο ον Α α αλ λη λου ου ι ι α
Συ ε ποι η σας παν τα τα ω ραι αι αι
α α τη ης γης θε ρος και ε ε ε αρ Συ ε
ποι οι η σα ας α αυ τα α α Α α αλ
λη λου ου ι ι α
Α να στα ο ο Θε ε ε ος ε πι
βλε ψον ε πι τη δι α θη κη ην σου μη ε πι
λα θη της φω νη ης των οι οι κε τω ω ω ων
σου ου ου Α α α λη ου ου ι ι α

## Κοινωνικόν τῆς Παρασκευῆς. Ψαλμός 73ος

### Ἡμετέρας καταγραφῆς.




α α α
Συ ε κρα ται ω σας εν τη δυ
να α μει ει σου την θα α α λα α α ασ
σαν συ συ νε ε τρι ι ι ψας τας κε ψα
λας των δρα κο ον των ε πι ι του υ υ δα α
το ο ος Α α αλ λη η η λου ου
ι ι ι α α α α
Συ δι ερ ρη ξας πη γα ας και χει ει
μα α α αρ ρους συ ε ξη ρα α νας πο τα
μου ου ους Η η η η θα α αμ Α α αλ
λη η η λου ου ι ι ι α α α α


Ση ε στι ιν η η η με ε ε ρα και
ση η ε ε ε στι ιν η η η νυξ Συ
κα τηρ τι σω φα α αυ σιν και Η η η λι ι
ι ι ο ο ον Α α αλ λη η η λου
ου ι ι ι α α α α
Συ ε ποι η σας παν τα τα ω ραι
αι αι α α της γης θε ρος και ε ε ε αρ
Συ ε ποι οι η σα ας α αυ τα α α
Α α αλ λη η η λου ου ι ι ι α
α α α
Α να στα ο ο Θε ε ε ος ε


πι βλε ψον ε πι τη δι α θη κη ην σου
μη ε πι λα θη της φω νη η ης των οι οι
κε τω ω ω ων σου ου ου Α α αλ λη
η η λου ου ι ι ι α α α α

## Εἴδομεν τὸ φῶς τό ἀληθινόν

Ἦχος Δι

Ει δο μεν το φως το α λη θι νον ε λα
βο με εν Πνευ μα ε που ρα α νι ον ευ ρο μεν
πι στιν α λη θη α δι αι ρε τον Τρι
α δα προ σκυ νου ου ου ουν τες αυ τη γαρ
η η μας ε σω σε ε ε ε ε εν

## Εἰς τό· Πάντοτε, νῦν καὶ ἀεί...

Ἦχος Δι Α μην α μην α μην εις α
φε σιν α μαρ τι ων και εις ζω ην αι
ω ω νι ον

Πλη ρω θη τω το στο μα η μων


αι νε σε ως σου Κυ ρι ε ο πως υ μνη
σω μεν την δο ο ξαν σου ο τι η ξι ω
σας η μας των α γι ων σου με τα σχειν
μυ στη ρι ι ι ι ων τη ρη σον η μας
εν τω σω α γι α σμω ο λην την η
με ραν με λε ταν την δι και ο συ νην σου
Αλ λη λου ι α Αλ λη λου ι α Αλ λη
λου ου ι α α α

## Εἴη τό ὄνομα...

Ἦχος Δι




## Τόν Εὐλογούντα...



Ἡ Μεταφορὰ Κειμένων - Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε μὲ τὸ πρόγραμμα «Μελωδός»
τοῦ κ. Σάββα Παπαδόπουλου
www.melodos.com
ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη στὸν Ι.Ν. Ἁγίου Γεωργίου Κουλούρας Βέροιας.